66. THE STILLING OF THE TEMPEST (Mk-Lk Identicals)

| Mark 4:35-41 | Luke 8:22-25 |
|---|---|
| | Ἐγένετο δὲ ἐν μιᾷ τῶν ἡμερῶν καὶ αὐτὸς ἐνέβη εἰς πλοῖον |
| | καὶ οἱ μαθηταὶ αὐτοῦ, |
| Καὶ λέγει αὐτοῖς | καὶ εἶπεν πρὸς αὐτούς, |
| ἐν ἐκείνῃ τῇ ἡμέρᾳ | |
| ὀψίας γενομένης, | |
| Διέλθωμεν εἰς τὸ πέραν. | Διέλθωμεν εἰς τὸ πέραν |
| | τῆς λίμνης· |
| 36 καὶ ἀφέντες τὸν ὄχλον | |
| παραλαμβάνουσιν αὐτὸν | καὶ ἀνήχθησαν. |
| ὡς ἦν ἐν τῷ πλοίῳ, | |
| καὶ ἄλλα πλοῖα ἦν μετ αὐτοῦ. | 23 πλεόντων δὲ αὐτῶν ἀφύπνωσεν. |
| 37 καὶ γίνεται λαῖλαψ μεγάλη | καὶ κατέβη λαῖλαψ |
| ἀνέμου, | ἀνέμου εἰς τὴν λίμνην, |
| καὶ τὰ κύματα ἐπέβαλλεν | |
| εἰς τὸ πλοῖον, | |
| ὥστε ἤδη γεμίζεσθαι τὸ πλοῖον. | καὶ συνεπληροῦντο |
| | καὶ ἐκινδύνευον. |
| 38 καὶ αὐτὸς ἦν ἐν τῇ πρύμνῃ | |
| ἐπὶ τὸ προσκεφάλαιον | |
| καθεύδων· | |
| καὶ ἐγείρουσιν αὐτὸν καὶ | 24 προσελθόντες δὲ διήγειραν |
| λέγουσιν αὐτῷ, | αὐτὸν λέγοντες, |
| Διδάσκαλε, οὐ μέλει σοι | Ἐπιστάτα ἐπιστάτα, |
| ὅτι ἀπολλύμεθα | ἀπολλύμεθα. |
| 39 καὶ διεγερθεὶς | ὁ δὲ διεγερθεὶς |
| ἐπετίμησεν τῷ ἀνέμῳ | ἐπετίμησεν τῷ ἀνέμῳ |

| Mark 4:35-41 | Luke 8:22-25 |
|---|---|
| *<u>καὶ</u> εἶπεν τῇ θαλάσσῃ,* | *<u>καὶ</u> τῷ κλύδωνι τοῦ ὕδατος·* |
| *Σιώπα, πεφίμωσο.* | |
| *<u>καὶ</u> ἐκόπασεν ὁ ἄνεμος,* | *<u>καὶ</u> ἐπαύσαντο,* |
| *<u>καὶ ἐγένετο γαλήνη</u> μεγάλη.* | *<u>καὶ ἐγένετο γαλήνη</u>.* |
| *40 καὶ <u>εἶπεν αὐτοῖς</u>, Τί δειλοί* | *25 <u>εἶπεν</u> δὲ <u>αὐτοῖς,</u>* |
| *ἐστε οὔπω ἔχετε πίστιν* | *Ποῦ ἡ πίστις ὑμῶν* |
| *41 καὶ* | |
| *ἐφοβήθησαν φόβον μέγαν,* | *φοβηθέντες δὲ ἐθαύμασαν,* |
| *καὶ ἔλεγον <u>πρὸς ἀλλήλους,</u>* | *λέγοντες <u>πρὸς ἀλλήλους,</u>* |
| *<u>Τίς ἄρα οὗτός ἐστιν</u>* | *<u>Τίς ἄρα οὗτός ἐστιν</u>* |
| *<u>ὅτι καὶ</u> ὁ ἄνεμος* | *<u>ὅτι καὶ</u> τοῖς ἀνέμοις ἐπιτάσσει* |
| *<u>καὶ</u> ἡ θάλασσα* | *<u>καὶ</u> τῷ ὕδατι,* |
| *ὑπακούει <u>αὐτῷ</u>* | *καὶ ὑπακούουσιν <u>αὐτῷ</u>* |

64 words out of 210 words = 30%